## 13 FEBRUARIE

# SLUJBA SF.CUVIOS SIMEON NEMANIA AL SERBIEI
*
# SF.IERARH SAVA 1 AL SERBIEI



## MINEIUL PE FEBRUARIE-GR



# Ἀκολουθία Ἁγίων ΣΥΜΕΩΝ τοῦ Μυροβλύτου καί ΣΑΒΒΑ Α῾,ἀρχιεπ. Σερβίας

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν τό *Μακάριος ἀνήρ.* Εἰς δὲ τό *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους η῾ καὶ ψάλλομεν δ' τῆς ἑορτῆς καὶ δ' στιχηρὰ Προσόμοια τῶν Ἁγίων. Τῆς ἑορτῆς. Ἦχος β'. Ἰωάννου Μοναχοῦ.

Τὸν φωτισμὸν ἡμῶν, τὸν φωτίσαντα πάντα ἄνθρωπον, ἰδὼν ὁ Πρόδρομος, βαπτισθῆναι παραγενόμενον, χαίρει τῇ ψυχῇ, καὶ τρέμει τῇ χειρί· δείκνυσιν αὐτόν, καὶ λέγει τοῖς λαοῖς· Ἴδε ὁ λυτρούμενος τὸν Ἰσραήλ, ὁ ἐλευθερῶν ἡμᾶς ἐκ τῆς φθορᾶς. Ὦ ἀναμάρτητε, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τοῦ Λυτρωτοῦ ἡμῶν, ὑπὸ δούλου βαπτιζομένου, καὶ τῇ τοῦ Πνεύματος παρουσίᾳ μαρτυρουμένου, ἔφριξαν ὁρῶσαι Ἀγγέλων στρατιαί, φωνὴ δὲ οὐρανόθεν ἠνέχθη ἐκ Πατρός. Οὗτος ὃν ὁ Πρόδρομος χειροθετεῖ, Υἱός μου ὑπάρχει ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὰ Ἰορδάνια ῥεῖθρα, σὲ τὴν πηγὴν ἐδέξατο, καὶ ὁ Παράκλητος, ἐν εἴδει περιστερᾶς κατήρχετο· κλίνει κορυφήν, ὁ κλίνας οὐρανούς, κράζει καὶ βοᾷ, πηλὸς τῷ πλαστουργῷ· Τί μοι ἐπιτάττεις τὰ ὑπὲρ ἐμέ; ἐγὼ

χρείαν ἔχω τοῦ σοῦ Βαπτισμοῦ. Ὦ ἀναμάρτητε, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σῶσαι βουλόμενος, τὸν πλανηθέντα ἄνθρωπον, οὐκ ἀπηξίωσας δούλου μορφὴν ἐνδύσασθαι· ἔπρεπε γὰρ σοὶ τῷ Δεσπότῃ, καὶ Θεῷ, ἀναδέξασθαι τὰ ἡμῶν ὑπὲρ ἡμῶν· σὺ γὰρ βαπτισθεὶς σαρκὶ Λυτρωτά, τῆς ἀφέσεως ἠξίωσας ἡμᾶς, διὸ βοῶμέν σοι· Εὐεργέτα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

*Τῶν Ἁγίων. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Ἀρετῶν θείων ἅρματι, ἐπιβὰς Σάββα ἔνδοξε, πρὸς Θεὸν ἀνέδραμες Ὃν ἠγάπησας, ὅλῃ ψυχῇ καὶ καρδίᾳ σου, καὶ τούτου ταῖς λάμψεσιν ἐλλαμπόμενος ἀεί, στύλος πύρινος γέγονας, Ὃν ἱκέτευε ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Ἀναλάμψας ὡς ἥλιος, ταῖς ἀκτῖσι τῶν λόγων σου, καταλάμπεις ἅπαντα γῆς τὰ πέρατα, καὶ τὴν Σερβίαν ἐφώτισας, ἀκτῖσι τῆς χάριτος, δογματίζων εὐσεβῶς, καὶ διδάσκων ἀοίδιμε ἕνα Κύριον, ἐν δυσὶ ταῖς οὐσίαις τοῦτον σέβειν, ὡς Δεσπότην τῶν ἁπάντων, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι.

Ἐλλαμφθεὶς θείῳ Πνεύματι, Συμεὼν παμμακάριστε, τοῦ υἱοῦ τοῖς ἴχνεσιν ἠκολούθησας, καὶ ἐν τῷ Ὄρει γεγόνατε, Ἁγίῳ θεσπέσιοι, οἶκον θεῖον καὶ τερπνόν, ἐν αὐτῷ δομεισάμενοι, ὧν νῦν ψάλλουσι, μοναζόντων πλήθη εὐφημοῦντες, νῦν ὑμᾶς Πατέρες θεῖοι, καὶ τὸν Χριστὸν μεγαλύνοντες.

Ἀρετὴν πᾶσαν ἤσκησας, ἐπιμόνως θεόπνευστε, καὶ χρισθεὶς τῷ Πνεύματι χρίσμα ἅγιον, ἱερουργὸς ἱερώτατος, σαφῶς ἐχρημάτισας, καὶ Ποιμὴν ἀληθινός, καὶ τῆς πίστεως πρόμαχος· ὅθεν ἅπασα, Ἐκκλησίᾳ γεραίρει σου τὴν μνήμην, ἱερῶς ἐπιτελοῦσα, καὶ τὸν Σωτῆρα δοξάζουσα.

*Δόξα. Ἦχος πλ. β΄.*

Τὸ κατ' εἰκόνα τηρήσαντες ἀλώβητον, νοῦν ἡγεμόνα κατὰ παθῶν ὀλεθρίων, ἀσκητικῶς ἐνστησάμενοι, εἰς τὸ καθ' ὁμοίωσιν ὡς δυνατὸν ἀνεληλύθατε· ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασάμενοι, ἐσπεύσατε τὸ χεῖρον καθυποτάξαι τῷ κρείττονι, καὶ τὴν σάρκαν δουλῶσαι τῷ πνεύματι· ὅθεν μοναζόντων ἀνεδείχθητε ἀκρότης, πολισταὶ τῆς ἐρήμου, εὐδρομούντων ἀλεῖπται, κανόνες ἀρετῆς ἀκριβέστατοι. Καὶ νῦν ἐν οὐρανοῖς, τῶν ἐσόπτρων λυθέντων θεόφρονες, καθαρῶς ἐποπτεύετε τὴν Ἁγίαν Τριάδα ἐντυγχάνοντες ἀμέσως, ὑπὲρ τῶν ἐν πίστει καὶ πόθῳ τιμώντων τὴν μνήμην ὑμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Βύζαντος.*

Ὑπέκλινας κάραν τῷ Προδρόμῳ, συνέθλασας κάρας τῶν δρακόντων, ἐπέστης ἐν τοῖς ῥείθροις, ἐφώτισας τὰ σύμπαντα, τοῦ δοξάζειν σε Σωτήρ, τὸν φωτισμὸν τῶν ψυχῶν ἡμῶν.

*Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καί τά Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ΄.7).*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίω ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ', 1).*

**Δ**ικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν

ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη,καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε΄, 5-6, 1).*

**Δ**ίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον.Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους

δυναστῶν. Ἀκούσατε, οὗν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ἰδιόμελα τῆς Θεοτόκου. Ἦχος α΄.*

Ἀγαλλιάσθω σήμερον ὁ οὐρανὸς ἄνωθεν καὶ αἱ νεφέλαι εὐφροσύνην ῥανάτωσαν, ἐπὶ τὰ λίαν παράδοξα μεγαλεῖα τοῦ Θεοῦ ἡμῶν· ἰδοὺ γὰρ ἡ πύλη, ἡ κατὰ ἀνατολὰς βλέπουσα, ἀποκυηθεῖσαι ἐκ στείρας ἀκάρπου, ἐξ ἐπαγγελίας καὶ τῷ Θεῷ ἀφιερωθεῖσα εἰς κατοίκησιν, σήμερον ἐν τῷ ναῷ ὡς ἄμωμος προσφορὰ προσάγεται, ἀγαλλιάσθω ὁ Δαβὶδ κρούων τὴν κινύραν ἀπενεχθήσονται φησί, τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται ἔσω ἐν τῇ σκηνῇ τοῦ Θεοῦ, ἔνδον τοῦ ἱλαστηρίου αὐτοῦ ἀνατραφῆναι εἰς κατοίκησιν τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς ἀῤῥεύστως γεννηθέντος, εἰς σωτηρίας τῶν ψυχῶν ἡμῶν.

*Ἕτερα, τῶν Ἁγίων. Ἦχος β΄.*

Ὅσιοι Πατέρες, τὴν ἀρετὴν ἐπιμελῶς ἐξασκήσαντες, ὄργανον γεγόνατε τοῦ Ἁγίου Πνεύματος καὶ παρ' αὐτοῦ λαβόντες τῶν θαυμάτων τὴν ἐνέργειαν, ἐπείσατε τοὺς ἀνθρώπους καταφρονεῖν τῶν ἡδέων· νῦν δὲ τῷ θείῳ φωτί, καθαρώτερον ἐλαμπόμενοι, φωτίσατε καὶ ἡμῖν τὰς διανοίας, Πατέρες τρισόλβιοι.

*Ὁ αὐτός.*

Εἰς τὰ ὑπερκόσμια σκηνώματα τὸ πνεῦμά σου Ἱεράρχα Σάββα, Πάτερ σοφέ, Χριστὸς ὁ Θεὸς ἀξίως ὑπεδέξατο. Σὺ γὰρ τῆς Τριάδος κήρυξ ἐχρημάτισας. Μίαν θεότητα ταύτην ἀναμνήσας τρανῶς, ἐνεργὸν θελητικὴν κατὰ φύσιν, μόνην παντοδύναμον, μιμούμενος τῶν Ἀποστόλων καὶ Πατέρων τὴν ἐν τῷ κόσμῳ διδασκαλίαν τῶν θαυμάτων· ὅθεν σοι τὴν ἐνέργειαν, Χριστὸς νῦν δωρεῖται βεβαιῶν σου τοὺς λόγους. Διό σου σήμερον ἀνυμνοῦντες τὴν μετάστασιν, ὀρθοδόξως μεγαλύνομεν τὸν σὲ δοξάζοντα Κύριον.

*Ἦχος πλ. β΄.*

Ἑορτὴ χαρμόσυνος ἐπέλαμψε τοῖς πέρασι σήμερον, ἡ ἔνθεος μνήμη τῶν θεοφόρων Πατέρων, Συμεῶν τε καὶ Σάββα. Διὸ Σερβία συγχαίρει χορεύουσα ἐν ᾠδαῖς καὶ ὕμνοις· ἑορτάσωμεν καὶ ἡμεῖς ἀδελφοὶ χαρμονικῶς, τὴν πανσέβαστον τούτων μνήμην ἐκτελοῦντες, ἐν εὐφήμοις ὑμνωδίαις καὶ πρὸς αὐτοὺς ἐκβοήσωμεν· χαῖρε Συμεὼν ἔνδοξε, καὶ μύστα τοῦ πάντων Δεσπότου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· χαῖρε Σάββα θεσπέσιε, ὁ κήρυξ τῆς πίστεως, καὶ διδάσκαλος τῆς οἰκουμένης· ὡς ἔχον παῤῥησίαν ζεῦγος ἁγιόλεκτον Χριστὸν τὸν Θεὸν ἡμῶν, ἱκετεύσατε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. α΄.*

Ὅσιοι Πατέρες, τῆς φωνῆς τοῦ Εὐαγγελίου τοῦ Κυρίου ἀκούσαντες, τὸν πλοῦτον καὶ τὴν δόξαν εἰς

οὐδὲν ἐλογίσατο, ὅθεν πᾶσιν ἐβοᾶτε· ἀγαπήσατε τὸν Θεόν, καὶ εὑρήσετε χάριν αἰώνιον, μηδὲν προτιμήσητε τῆς ἀγάπης αὐτοῦ, ἵνα ὅταν ἔλθῃ ἐν τῇ δόξῃ Αὐτοῦ, εὑρήσητε ἀνάπαυσιν μετὰ πάντων τῶν Ἁγίων· ὧν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, φύλαξον καὶ σῶσον τάς ψυχάς ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος πλ. δ΄. Ἰωάννου Μοναχοῦ.*

Κύριε, πληρῶσαι βουλόμενος, ἃ ὥρισας ἀπ' αἰῶνος, ἀπὸ πάσης τῆς κτίσεως, λειτουργοὺς τοῦ Μυστηρίου σου ἔλαβες· ἐκ τῶν Ἀγγέλων τὸν Γαβριήλ, ἐκ τῶν ἀνθρώπων τὴν Παρθένον, ἐκ τῶν οὐρανῶν τὸν ἀστέρα, καὶ ἐκ τῶν ὑδάτων τὸν Ἰορδάνην, ἐν ᾧ τὸ ἀνόμημα τοῦ κόσμου ἐξείληψας, Σωτὴρ ἡμῶν δόξα σοι.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, χειραγωγία τυφλῶν, παιδαγωγία τῆς νεότητος ἔνδοξε, τοῦ γήρως ἡ βακτηρία, τῶν πλανωμένων ποιμήν, τῶν ἁμαρτανόντων ἡ διόρθωσις, λειμὼν εὐωδέστατος, μυροθήκην τοῦ Πνεύματος, ὁ χρυσοῤῥόας, ποταμὸς ὁ ἀέναος, καταγώγιον, τῆς Ἁγίας Τριάδος σεπτόν· μέμνησο τῶν ὑμνούντων σε, ῥυόμενος θλίψεων, καὶ τῶν κινδύνων καὶ νόσων καὶ αἰωνίου κολάσεως, Χριστὸν ἱκετεύων, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῶν Ὁσίων Αὐτοῦ.*

Χαίροις, τῆς εὐσεβείας φωστήρ, τῆς Ἐκκλησίας ὁ λαμπρὸς Πάτερ ἥλιος, τὸ κλέος τῶν μοναζόντων, τῆς ἡσυχίας κανών, ὁ τῆς θεωρίας καὶ τῆς πράξεως, διδάσκαλος ἄριστος, Ἱεράρχα θεόσοφε, τὸ τῆς σοφίας, καὶ τῆς γνώσεως τέμενος, Σάββα ἔνδοξε, τῆς Τριάδος τε σκήνωμα, ὄργανον τὸ τοῦ Πνεύματος, ψαλτήριον ἔμψυχον, στόμα Κυρίου ἐξάγον ἐξ ἀναξίου τὸ ἄξιον· Χριστὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Στύλος, φωτοειδὴς ἀρεταῖς, ἐστηριγμένος καὶ νεφέλη σκιάζουσα, ἐδείχθης τῶν ἐν ἐρήμῳ, πρὸς οὐρανὸν ἀπὸ γῆς, τὸν Θεὸν ὁρώντων προηγούμενος· Σταυροῦ βακτηρία, τὴν τῶν παθῶν ῥήξας θάλασσαν, τὸν νότον δέ, Ἀμαλὴκ τροπωσάμενος, ἀνεμπόδιστον, τὴν οὐράνιον ἄνοδον, εὗρες θεομακάριστε, καὶ κλῆρον ἀκήρατον, σὺν Ἀσωμάτοις τῷ θρόνῳ, ᾧ Συμεὼν παριστάμενος, Χριστοῦ Ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῶν μοναστῶν τὰ πλήθη, τοὺς καθηγητὰς ὑμῶν τιμῶμεν Πατέρες θειότατοι. Δι’ ὑμῶν γὰρ τὴν τρίβον τὴν ὄντως εὐθεῖαν πορεύεσθαι ἔγνωμεν· μακάριοι ἐστὲ τῷ Χριστῷ δουλεύσαντες, καὶ ἐχθροῦ τὴν δύναμιν θριαμβεύσαντες, Ἀγγέλων συνόμιλοι, Ὁσίων συμμέτοχοι, καὶ Δικαίων, μεθ’ ὧν πρεσβεύσατε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Θεοφάνους.*

Τὸν ἐκ Παρθένου Ἥλιον, βλέπων ὁ ἐκ στείρας Λύχνος φαεινός, ἐν Ἰορδάνῃ αἰτούμενον Βάπτισμα, ἐν δειλίᾳ καὶ χαρᾷ, ἐβόα πρὸς αὐτόν· Σὺ με ἁγίασον Δέσποτα τῇ θείᾳ Ἐπιφανείᾳ σου.

*Νῦν ἀπολύεις. Τρισάγιον. Ἀπολυτίκιον, κοινὸν τῶν Ἁγίων. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῆς Μονῆς Χιλανδραρίου σεβασμίους δομήτορας, καὶ τοῦ Ἄθω φωστῆρας, τῆς Σερβίας τὸ καύχημα, Συμεὼν τὸν μέγιστον, Ὁσίων καλλονήν, καὶ γόνον αὐτοῦ τὸν θαυμαστόν, Ἱεράρχην φημὶ Σάββαν, δεῦτε συμφώνως τιμήσωμεν λέγοντες· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῆς ποίμνης ὑμῶν μακάριοι, καὶ τῆς Ἐκκλησίας ἀπαλλαγὴν τῶν περιστάσεων.

*Ἀπολυτίκιον τοῦ Ἁγίου Σάββα. Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.*

Ἀρετῶν ταῖς ἀκτῖσι καταλαμπόμενος, Ἀρχιερεὺς θεοφόρος ὤφθης καὶ θεῖος ποιμήν, τῆς Σερβίας ὁ φωστὴρ Σάββα μακάριε, καὶ Ἀποστόλων μιμητής, γεγονὼς ὡς ἀληθῶς, στηρίζεις τὴν Ἐκκλησίαν, καὶ τῷ Σωτῆρι πρεσβεύεις, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἀπολυτίκιον τοῦ Ἁγίου Συμεών. Ἦχος γ΄. Θείας πίστεως.*

Θείαν ἄσκησιν, ἐπιποθήσας, τὴν βασίλειον, ἔλιπες δόξαν, Συμεὼν καὶ ἰσαγγέλως ἐβίωσας, τῶν ἐν τῷ Ἄθῳ Ὁσίων ὡράϊσμα, καὶ τῆς Σερβίας κλεινὸν

σεμνολόγημα. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος α΄.*

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ Στιχολογίαν. Κάθισμα τῶν Ἁγίων. Ἦχος πλ. δ΄. Τὸν Συνάναρχον Λόγον.*

Ποιμαντικὴν ἐπιστήμην ἀναλαβών, μοναζόντων ὁ στύλος καὶ ἡ κρηπίς, ὀξέως ἐνόμευσας, τοὺς τῆς ἔμφρονος ποίμνης σου· τοὺς γὰρ Χριστοῦ ποθήσας τὰ θεῖα διδάγματα, ἐν αὐταῖς τὸν λόγον κατασπείρας πάνσοφε· ὅθεν καὶ πρὸς ζῆλον, ἀγγελικῆς πολιτείας, διήγειρας ἅπαντας, ὁμοφρόνως δοξάζειν Θεόν· θεόφρον Σάββα Πατὴρ ἡμῶν, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Ἐπιφανέντος σου ἐν Ἰορδάνῃ Σωτήρ, καὶ βαπτισθέντος σου ὑπὸ Προδρόμου Χριστέ, ἠγαπημένος Υἱὸς ἐμαρτυρήθης· ὅθεν καὶ συνάναρχος, τῷ Πατρὶ πεφανέρωσαι, Πνεῦμα δὲ τὸ

Ἅγιον, ἐπὶ σὲ κατεγίνετο, ἐν ᾧ καὶ φωτισθέντες βοῶμεν· Δόξα Θεῷ τῷ ἐν Τριάδι.

*Μετὰ τὴν β΄ Στιχολογίαν. Κάθισμα τῶν Ἁγίων. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τῇ κλήσει τοῦ Κυρίου σου κατηκολούθησας, τὸν κόσμον παρωσάμενος καὶ τὰ τοῦ κόσμου τερπνά, Συμεὼν θεόσοφε· ἤνεγκας τῆς ἐρήμου, κακουχίαν προθύμως, στίφη δὲ ἀπεκρούσω, τῶν δαιμόνων ἀνδρείως· διό σου μνήμην ἀεί, ᾠδαῖς ἀνευφημοῦμεν πιστῶς.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ.*

Ἰορδάνη ποταμέ, τὶ ἐθαμβήθης θεωρῶν; Τὸν ἀθεώρητον γυμνόν, εἶδον καὶ ἔφριξα φησί· καὶ πῶς γὰρ τοῦτον οὐκ ἔμελλον φρῖξαι καὶ δῦναι; οἱ Ἄγγελοι αὐτόν, ὁρῶντες ἔφριξαν· ἐξέστη οὐρανός, καὶ γῆ ἐτρόμαξε· καὶ συνεστάλη θάλασσα καὶ πάντα, τὰ ὁρατὰ καὶ ἀόρατα. Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ, ἁγιάσαι τὰ ὕδατα.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα τῶν Ἁγίων. Ἦχος γ΄. Θείας πίστεως.*

Στύλοι ἄσειστοι,τῆς εὐσεβείας, βάσις ἔνθεος, τῆς Ἐκκλησίας, ἀνεδείχθητε Πατέρες ἀοίδιμοι, τῆς γὰρ Σερβίας ἁπάσης τὰ πέρατα, κατεφωτίσατε λόγῳ τῆς πίστεως, Σάββα ἔνδοξε, σὺν Συμεὼν τῷ θεόφρονι,

Χριστῷ τῷ Θεῷ πρεσβεύσατε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τὰ ῥεῖθρα ἡγίασας τὰ Ἰορδάνια, τὸ κράτος συνέτριψας, τῆς ἁμαρτίας, Χριστὲ ὁ Θεὸς ἡμῶν· ὑπέκλινας τῇ παλάμῃ, σεαυτὸν τοῦ Προδρόμου, καὶ ἔσωσας ἐκ πλάνης, τῶν ἀνθρώπων τὸ γένος. Διὸ σε ἱκετεύομεν, σῶσον τὸν κόσμον σου.

Εἶτα, οἱ Ἀναβαθμοί. Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῶν Ὁσίων Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν’ Ψαλμός.

Δόξα. *Ταῖς τῶν Σῶν Ἁγίων πρεσβείαις…*

Καὶ νῦν. *Ταῖς τῆς Θεοτόκου πρεσβείαις…*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…*

Ὅσιοι Πατέρες εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων ὑμῶν, δι’ ὧν ἐν τοῖς οὐρανοῖς εὕρατε μισθὸν τῶν καμάτων ὑμῶν· τῶν δαιμόνων ὠλέσατε τὰς φάλαγγας, τῶν Ἀγγέλων ἐφθάσατε τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζηλώσατε· παῤῥησίαν οὖν πρὸς Κύριον ἔχοντες, εἰρήνην αἰτήσασθαι ταῖς ψυχαῖς ἡμῶν.

Οἱ Κανόνες· δύο τῆς ἑορτῆς καὶ ἕνας τῶν Ὁσίων.
Ὁ Κανὼν τῶν Ὁσίων, οὗ ἡ ἀκροστιχὶς κατ' ἀλφάβητον.

*Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.*

Ἀνατολὴ τῶν ἀρετῶν γενόμενος ἥλιος ἄδυτος, ἱερουργὲ Πάτερ, τῷ νῦν εὐφημοῦντί σε, καὶ αἰτουμένῳ ὕμνον σε, σαῖς πρεσβείαις παράσχου, ὅπως ἀξίως ὑμνήσω σε, Σάββα Ἱεράρχα Πατὴρ ἡμῶν.

Βασιλικὴν ὑπεριδὼν εὐγένειαν, πλοῦτον καὶ δόξαν σοφέ, σὸν Σταυρὸν ἄρας, Πάτερ ἐπὶ ὤμων σου, Χριστῷ κατηκολούθησας, καθαρᾷ διανοίᾳ, αὐτῷ ἑπόμενος Ὅσιε, Σάββα Ἱεράρχα θεσπέσιε.

Γεηπονήσας ἀρεταῖς καὶ θλίψεσι, σπόρον τὸν ἔνθεον, ἐν ταῖς ψυχαῖς Πάτερ, τῶν πιστῶν κατέβαλες, καὶ νῦν ἑκατοστεύοντα, στάχυν θείων ἐκδίδως, τῷ Γεωργῷ καὶ Δημιουργῷ, Συμεὼν πιστῶν ἐγκαλλώπισμα.

*Θεοτοκίον.*

Θεοφανείας διά Σου ἠξιώται Θεοχαρίτωτε, ἡ τῶν βροτῶν φύσις, τὸν γὰρ ἀπερίληπτον, ἐν Σῇ γαστρὶ σκηνώσαντα, ὑπὲρ νοῦν τε καὶ λόγον, εὐλογημένη γεγένηκας, μείνασα Παρθένος ἀκήρατος.

*Ὠδή γ'. Οὐρανίας ἁψῖδος.*

ωρεαῖς φωτοβόλοις καταυγασθεὶς Ὅσιε, σκότος τῶν δαιμόνων ἅπαν ἐδίωξας, καὶ φῶς ἐξέλαμψας, τοῖς ἐν

σκιᾷ καὶ θανάτου, καθημένοις ὅθεν σε, Σάββα γεραίρομεν.

Ἐπὶ Κύριον πᾶσαν θεοειδεῖς Ὅσιοι, θέμενοι ἐλπίδα οὐδόλως παρεσαλεύθητε, στάσεως κρείττονος, ἀλλὰ νομίμως τὸν θεῖον, δρόμον διηνύσατε γνώμης εὐθύτητι.

Ζωῆς τῆς ἀκηράτου ἐπιτυχεῖν σπεύσατε, σώματα ἐν γῇ θεοφόροι ἐθανατώσατε, καὶ νῦν ἀθάνατον, τὴν κληρουχίαν κληροῦσθε, τῷ Χριστῷ μακάριοι συμβασιλεύοντες.

*Θεοτοκίον.*

Ἐν σκιᾷ τοῦ θανάτου περιπεσὼν Ἄχραντε, Σὲ ἐπικαλοῦμαι τὴν θείαν, σκέπην σου τάχος, κατάπεμψον ὅπως, σωθεὶς ἐπαξίως, πόθῳ μακαρίζω Σε καθὼς προέφησας.

*Κοντάκιον τῆς ἑορτῆς. Ἦχος δ'.*

Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ, καὶ τὸ φῶς σου Κύριε, ἐσημειώθη ἐφ᾽ ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντας σε· ἦλθες ἐφάνης τὸ Φῶς τὸ ἀπρόσιτον.

*Ὁ Οἶκος τῆς ἑορτῆς.*

Τῇ Γαλιλαίᾳ τῶν Ἐθνῶν, τῇ τοῦ Ζαβουλὼν χώρᾳ, καὶ τοῦ Νεφθαλεὶμ γαίᾳ, ὡς εἶπεν ὁ Προφήτης, φῶς μέγα ἔλαμψε Χριστός· τοῖς ἐσκοτισμένοις φαεινὴ ὤφθη αὐγή, ἐκ Βηθλεὲμ ἀστράπτουσα· μᾶλλον δὲ ἐκ Μαρίας ὁ Κύριος πάσῃ τῇ οἰκουμένῃ ἀνατέλλει τάς ἀκτῖνας, ὁ Ἥλιος τῆς Δικαιοσύνης. Διὸ οἱ ἐξ Ἀδὰμ

γυμνοί, δεῦτε πάντες ὑποδύωμεν αὐτόν, ἵνα θαλφθῶμεν· σκέπη γὰρ γυμνῶν, καὶ αἴγλη ἐσκοτισμένων, ἦλθες ἐφάνης τὸ Φῶς τὸ ἀπρόσιτον.

*Κάθισμα τῶν Ἁγίων. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὴν ψυχὴν δεσμευθέντες πόθῳ Χριστοῦ, τὰ γεώδη ἀφέντες πάντα σαφῶς, ηὐλίσθετε Ὅσιοι, ἐν ἐρήμοις καὶ ὄρεσι, τοῦ γνωστικοῦ γὰρ ξύλου γευσάμενοι ἔνδοξοι, ὡς ἐξ ὑδάτου μύσταις, ἀγγελικῶς ἐξελάμψατε· ὅθεν καὶ τὸν γνόφον, τῆς σαρκὸς διαβάντες, τὸ σκότος ἐκδιώξατε τῶν δαιμόνων μακάριοι, Συμεὼν Σάββα ἔνδοξοι· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

*Δόξα. Καὶ νῦν.Τῆς ἑορτῆς. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.*

Τοῦ Ἰησοῦ γεννηθέντος ἐκ Παρθένου Μαρίας, καὶ ἐν Ἰορδάνῃ βαπτισθέντος ὑπὸ Ἰωάννου, τὸ Πνεῦμα κατῆλθεν ἐπ᾽ αὐτόν, ὁρώμενον ἐν εἴδει περιστερᾶς· διὰ τοῦτο ὁ Προφήτης, σὺν τοῖς Ἀγγέλοις ἔλεγε κραυγάζων· Δόξα τῇ παρουσίᾳ σου Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἡ τοῦ θείου ἐπίπνοια, Πνεύματος φωστήρας ὑμᾶς ἀνέδειξεν, ἐν τοῖς θαύμασιν ἐκλάμποντας, Συμεὼν καὶ Σάββα παναοίδιμοι.

Θεϊκαῖς πιστευόμενοι, λάμψεσι πυρσοὶ χρηματίζετε, τῶν πιστῶν καταφωτίζοντες, διανοίας πάντων παμμακάριστοι.

Ἰαμάτων χαρίσματα, ὁ Δεσπότης πάντων ὑμῖν δεδώρηται, καὶ πνευμάτων φυγαδεύματα, πονηρῶν Πατέρες ἀξιάγαστοι.

*Θεοτοκίον.*

Ὁ ἐν κόλποις καθήμενος, Ἄχραντε πατρώοις νῦν ἐν τοῖς κόλποις Σου, Θεομῆτορ ἀναπέπαυται, τὴν φθαρεῖσαν φύσιν ἀνορθούμενος.

*Ὠδή ε΄. Ἵνα τί με ἀπώσω.*

Ναμάτων σοι χάριν, κατὰ νοσημάτων τῶν ποικίλων δεδώρηται, καὶ κατὰ πνευμάτων ἀκαθάρτων, Χριστὸς ἐξουσίαν σοφὲ τὴν γὰρ φύσιν Πάτερ, νενικηκὼς τῶν ὑπὲρ φύσιν, χαρισμάτων μετέσχες τοῦ Πνεύματος.

Καθαρᾷ διανοίᾳ καὶ ψυχῆς στεῤῥότητι θεομακάριστοι, τοῦ ἐχθροῦ ἁπάσας, τὰς ἐπάρσεις εἰς γῆν ἠδαφίσατε, τὸν Σταυρὸν ὡς σκῆπτρον, ἀναλαβόντες ἐπὶ ὤμων, Συμεὼν σὺν τῷ Σάββᾳ πανόλβιοι.

Μετὰ τῶν Ἀσωμάτων, μετὰ τῶν Ὁσίων τε καὶ Ἱεραρχῶν, μετὰ Ἀποστόλων, τὴν ὑμῶν ἐκτελοῦμεν

πανήγυριν, θεοφόρε Σάββα, σὺν τῷ Πατρὶ σου Συμεῶνι, οὓς συμφώνως ἀεὶ μακαρίζομεν.

*Θεοτοκίον.*

Δυσωποῦσα μὴ παύσῃ, ὑπὲρ τῶν ὑμνούντων Σε ἁγία Δέσποινα, τὸν Υἱόν Σου Κόρη, καὶ Θεὸν καὶ Δεσπότην καὶ Κύριον, ὅπως λύσιν πᾶσιν, ἁμαρτιῶν ἡμῖν παράσχη, καὶ τρυφῆς παραδείσου ἀπόλαυσιν.

*Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Ναμάτων ζωοποιῶν, καὶ θεῖον ὄντως ἰάσεων, ὁ τάφος σου ἀληθῶς, ὡς γεγένηται, ἐν ᾧ πορευόμενοι, τὰς ἰάσεις πάντες οἱ πιστοὶ ἀπαρυώμεθα.

Ὁ βίος σου εὐκλεής, ἡ δόξα Πάτερ ἀΐδιος, ἡ δὲ ὁδός σου φαιδρά, ὁ θάνατος τίμιος, μακρὰν εἰ καὶ πέφυκεν, ἔναντι Κυριοῦ τοῦ Θεοῦ σου, Σάββα ἔνδοξε.

Ἀπώσω τὴν ἐπὶ γῆς, τιμὴν καὶ δόξαν εὐμάραντον, ἀΐδιον δὲ ζωήν, καὶ κλῆρον ἀκήρατον, παμμάκαρ ἀπείληφας, σκηνὰς οὐρανίους κατοικήσας ἀσφαλέστατα.

*Θεοτοκίον.*

Ὁ παντοκρατορικῇ δυνάμει φέρων τὰ σύμπαντα, ἐν ταῖς ἀγκάλαις ταῖς σαῖς, ὡς βρέφος βαστάζεται, Παρθένε πανάμωμε, ἡμᾶς ἀπαλλάτων, ἐκ χειρὸς τοῦ πολεμήτορος.

*Κοντάκιον τῶν Ἁγίων. Ἦχος δ΄.*

Σήμερον ὁ Συμεών, σὺν τῷ Σάββᾳ ἐν πνεύματι ἐλθόντες οἱ μακάριοι, ἐκ πειρασμῶν σώζουσα τὴν

αὐτὸν ποίμνην. Οὗτοι γὰρ Τριάδα κηρύξαντες τὸν μόνον Θεόν, τῆς Ἐκκλησίας στήριγμα ἀνεδείχθησαν, ἐν Ὁσίοις Μυροβλύτης καὶ ἐν Ἁγίοις θαυματουργός. Οὗτοι γὰρ καὶ ἐν πολέμοις ἀπροσμάχητοι, ὑπερασπισταὶ ἀνεφάνησαν, βασιλέων τὸ καύχημα, καὶ λαοῦ αὐτῶν τὸ προπύργιον.

*Ἕτερον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Τὴν ἄνω ζωὴν ποθήσαντες ἀοίδιμοι, τὴν ἐπὶ τῆς γῆς, ζωὴν κατεφρονήσατε, διὰ τοῦτο ἐν ὑψίστοις σὺν Ἀγγέλοις ἀεὶ ἀγάλλεσθαι,πρεσβείαν ποιοῦντες ὑπὲρ πάντων ἡμῶν.

*Ὁ Οἶκος τῶν Ἁγίων.*

Τὸ κλέος καὶ τὸ μέγεθος, ταῖς λιταῖς ἡμῶν τήν τοῦ Πνεύματος χάριν μοι χορηγήσατε, ὅπως τῶν σῶν ἀγώνων ἐκφράσω πιστῶς, καὶ μέλψω τὸ ὑπὲρ λόγον καρτερόν καὶ τὴν τῆς συνειδήσεως ὑπομονὴν, παμμακάριστοι. Δι᾽ ἧς πλάνον ἐχθρὸν κατησχύνατε, Σάββαν θεοφόρε, σὺν τῷ Συμεῶν τῷ θεόφρονι. Μὴ παύσητε πρεσβεύοντες, ὑπὲρ πάντων ἡμῶν.

*Συναξάριον.*

Τῇ ΙΔ'τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ὁσίων Πατέρων Συμεὼν καὶ Σάββα τοῦ υἱοῦ αὐτοῦ, κτητόρων τῆς Ἱερᾶς Μονῆς Χιλανδραρίου.

*Σάββα συνωνύμῳ σοι ἡγιασμένῳ,*
*νῦν σαββατίζεις τῇ ἄνω λήξει.*
*Σὺν Συμεῶνι τῷ τοκεῖ σου παμμάκαρ,*

*ἐκεῖσε αὐτὸς σῷ γόνῳ συνευφραίνῃ.*
*Ὅπου Πάτερ νῦν Συμεὼν μάκαρ πέλει,*
*Συμεώνιος τετραομωνυμίας.*
*Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.*

*ᾨδὴ ζ'. Παῖδες Ἑβραίων.*

Ῥύσασθε πάσης ἐπηρείας, καὶ ἁλώσεως ἐχθρῶν βαρβαρωτάτων, τοὺς τῇ σκέπῃ ὑμῶν, προσφεύγοντες τῇ θείᾳ, ὦ Συμεὼν ἀοίδιμε, σὺν τῷ Σάββᾳ εἰς αἰῶνας.

Σῶμα ψυχήν τε καὶ καρδίαν, καὶ διάνοιαν καὶ νοῦν κεκαθαρμένοι, πρὸς οὐράνιον νῦν, μετέστητε νυμφῶνα, ὦ Συμεὼν ἀοίδιμε, σὺν τῷ Σάββᾳ εἰς αἰῶνας.

Ῥάβδον δυνάμεως κατέχων, τὸν σωτήριον Σταυρὸν γενναῖε Σάββα, πειρασμοῦς καρτερεῖς, προθύμως ἀναμέλπων, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Σὺ μὲ διάσωσον Παρθένε, καὶ ἐξάρπασον χειρὸς τοῦ πολέμου, καὶ δολίου ἐχθροῦ, σατᾶν τοῦ βροτοκτόνου, ὅπως ὑμνῶ σωζόμενος, τὴν Σὴν δόξαν εἰς αἰῶνας.

*ᾨδὴ η'. Ἑπταπλασίως κάμινον.*

Συντονωτάτῃ χρώμενοι πολιτείᾳ πανόλβιοι, πρὸς ὑψηλοτατὴν θεωρίαν ἤλθετε, δοχεῖον γενόμενοι χωρητικὸν τοῦ Πνεύματος, τῶν ζωοποιῶν μελῳδοῦντες ἀπαύστως· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Μεταναστεύων ἔφθασας, τῆς Σιὼν τὴν ἀκρόπολιν, εἰς τὰς αἰωνίους Μονὰς δὲ κατήντησας, καὶ κλῆρον οὐράνιον, ἐκ τῶν οἰκείων πόνων εὑρὼν ταῖς ἀγγελικαῖς, χοροστασίαις συμψάλλεις· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν, εἰς τοὺς αἰῶνας.

Ὁλολαμπὴς ὡς ἥλιος, τὰς ἐρήμου ἐφώτισας, τοὺς σκοτεινομόρφους ἀπελάσας δαίμονας, καὶ στύλος ὁλόφωτος, οὐρανομήκης γέγονας, θαυματοποιοὺς μαρμαρυγὰς ἀποστίλβων, ἐκραύγαζες ἀπαύστως· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Νύμφη Θεοῦ πανάμωμε, τοὺς πρὸς Σὲ καταφεύγοντας, τῆς αἰχμαλωσίας, τῶν παθῶν ἐξάρπασον, καὶ τὴν αὐτοδέσποτον ἐλευθερίαν ἄχραντε, ταῖς τῶν Ὀρθοδόξων, Ἐκκλησίαις παράσχου, ταῖς πίστει μελῳδούσαις· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Ὠδὴ θ'. ΜΕΓΑΛΥΝΑΡΙΑ. Ψαλλόμενα ἐν τῇ Ὠδῇ ταύτῃ.*

*Εἰς τόν α' Κανόνα τῆς ἑορτῆς. Ἦχος β'.*

*Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων. (Δίς).*

*Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἰορδάνῃ, ἐλθόντα βαπτισθῆναι.*

*Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ Προδρόμου, τὸ βάπτισμα λαβόντα.*

*Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς πατρῴας, φωνῆς μαρτυρηθέντα.*

*Μεγάλυνον ψυχή μου, τὸν ἕνα τῆς Τριάδος, κλίναντα τὸν αὐχένα,καὶ βάπτισμα λαβόντα.*

*Προφῆτα, δεῦρο πρὸς με, ἔκτεινον τὴν χεῖρα, καὶ βάπτισόν με τάχος.*

*Προφῆτα, ἄφες ἄρτι, καὶ βάπτισόν με θέλω· πληρῶσαι καὶ γὰρ ἦλθον, πᾶσαν δικαιοσύνην.*

*Ἕτερα εἰς τὸν Ἰαμβικὸν Κανόνα.*

*Σήμερον ὁ Δεσπότης, κλίνει τὸν αὐχένα, χειρὶ τῇ τοῦ Προδρόμου.*

*Σήμερον Ἰωάννης, βαπτίζει τὸν Δεσπότην, ἐν ῥείθροις, Ἰορδάνου.*

*Σήμερον ὁ Δεσπότης, νάμασιν ἐνθάπτει, βροτῶν τὴν ἁμαρτίαν.*

*Σήμερον ὁ Δεσπότης, ἄνωθεν μαρτυρεῖται, Υἱὸς ἠγαπημένος.*

*Σήμερον ὁ Δεσπότης, ἦλθεν ἁγιάσαι, τὴν φύσιν τῶν ὑδάτων.*

*Σήμερον ὁ Δεσπότης, τὸ βάπτισμα λαμβάνει, ὑπὸ χειρὸς Προδρόμου.*

*Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου, καὶ ἀδιαιρέτου,Θεότητος τὸ κράτος.*

*Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας.*

*Ὠδὴ θ'. Κυρίως Θεοτόκον.*

Χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς, πάντας ἡ ὑμῶν μνήμην ἐμπίπλησιν ἔνδοξοι, τοὺς θερμῇ πίστει καὶ πόνῳ ταύτην γεραίροντες.

Ψαλμοῖς ὑμᾶς καὶ ὕμνοις, νῦν ἀνευφημοῦμεν, καὶ μακαρίζομεν ᾄσμασι σήμερον, οἱ ἐν τῷ θείῳ τεμένει ὑμῶν προστρέχοντες.

Ὢ Πάτερ θεοφόρε, Σάββα Ἱεράρχα, σὺν Συμεὼν τῷ πατρί σου πρεσβεύσατε, ὑπὲρ τῶν τιμώντων τὴν θείαν μνήμην ὑμῶν.

*Θεοτοκίον.*

Φιλάγαθε Παρθένε, τὴν κεκαμωμένην, τῇ ἁμαρτίᾳ ψυχήν μου ἀγάθυνον, ἡ τὸν πανάγαθον Λόγον σαρκὶ κυήσασα.

*Ἐξαποστειλάριον τῶν Ἁγίων. Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Θαυματουργοὶ φωστῆρες, Συμεὼν σὺν τῷ Σάββᾳ, τὰς ψυχὰς ἡμῶν νόσους, καὶ τῶν σωμάτων ἰᾶσθε, παρὰ Κυρίου λαβόντες, τὴν χάριν τῶν ἰαμάτων.

*Ἕτερον τῆς ἑορτῆς. Ἐπεσκέψατο ἡμᾶς.*

Ἐπεφάνη ὁ Σωτήρ, ἡ χάρις ἡ ἀλήθεια, ἐν ῥείθροις τοῦ Ἰορδάνου, καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ, καθεύδοντας ἐφώτισε· καὶ γὰρ ἦλθεν ἐφάνη, τὸ φῶς τὸ ἀπρόσιτον.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὢ τοῦ παραδόξου θαύματος, φωταυγὴς καὶ τερπνή, τῶν Πατέρων πανήγυρις, νῦν ἡμῖν ἐξέλαμψε, Συμεῶν δὲ καὶ Σάββα τε· διὸ ἐν πίστει δεῦτε συνέλθωμεν, ἐπὶ τῇ μνήμῃ αὐτῶν γηθόμενοι, καὶ ἀνακράξωμεν, ταῖς αὐτῶν δεήσεσι σῶσον ἡμᾶς, Κύριε φιλάγαθε, ὡς ὑπεράγαθος. *(Δίς).*

Πάτερ, Συμεὼν θεόσοφε, φωτοφανείαις τὸν νοῦν, καθαρῶς ἀστραπτόμενος, τῶν παθῶν ἐκοίμησας, πολυκύμαντον θάλασσαν, καὶ ἀπαθείας περιϊπτάμενος, καθαρωτάταις, πτέρυξιν ἔφθασας, ἔνθα τὸ ἄφραστον, κάλλος τὸ ἀμήχανον, ὑπὲρ ἡμῶν πάντοτε δεόμενος, τῶν εὐφημούντων σε.

Σάββα, θεοῤῥήμων πάνσοφε, ἱερωσύνης κανών, σωφροσύνης εἰκόνισμα, μοναζόντων στήριγμα, Ἐκκλησίας ἑδραίωμα, ἀγάπης λύχνος, θρόνος αἰσθήσεως, πηγὴ θαυμάτων, γλῶσσα πυρίπνοος, στόμα ἡδύλαλον, σκεῦος θείου Πνεύματος καὶ νοητός, γέγονας Παράδεισος θεομακάριστε.

*Δόξα. Ἦχος β΄.*

Τῶν ἀρετῶν κλίμαξ καὶ ὑπογραμμός, ἀνεδείχθησαν ἐπὶ τῆς γῆς μυστικῶς οἱ Ἅγιοι. Τούτους εὐφημήσωμεν ὡς Ἀσκητῶν ἐγκαλλώπισμα· ἐξασκήσαντες γὰρ ἀληθῶς, ὥσπερ ὁ Μέγας Ἀντώνιος, ἄμετρόν τε ταπείνωσιν ἐνδειξάμενοι, καὶ ποιμάναντες τὸν λαὸν αὐτὸν εὐσεβῶς, εἰς μάνδραν ἁγίαν ἐνήλασαν, οὗ ὁ χορὸς τῶν Ἀγγέλων καθέστηκε. Διὰ τοῦτο βοῶμεν

ἐκτενῶς, μὴ ἐπιλάθησθε τῆς ποίμνης ὑμῶν Σάββα καὶ Συμεὼν παμμακάριστοι, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος β'. Ἀνατολίου.*

Σήμερον ὁ Χριστός, ἐν Ἰορδάνῃ ἦλθε βαπτισθῆναι. Σήμερον Ἰωάννης ἅπτεται, κορυφῆς τοῦ Δεσπότου. Αἱ δυνάμεις τῶν οὐρανῶν ἐξέστησαν, τὸ παράδοξον ὁρῶσαι μυστήριον. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἰδὼν ἀνεστρέφετο. Ἡμεῖς δὲ οἱ φωτισθέντες βοῶμεν· Δόξα τῷ φανέντι Θεῷ, καὶ ἐπὶ γῆς ὀφθέντι, καὶ φωτίσαντι τὸν κόσμον.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων ἡ γ΄ καὶ στ΄ ᾠδή.

Προκείμενον. Ἦχος βαρύς: *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Στ.: *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.*

Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα: *Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματος ἐστίν...* (Ζήτει τοῦ Ἁγ. Σάββα).

Εὐαγγέλιον Ὁσιακόν. Κατὰ Ματθαῖον: *Εἶπεν ὁ Κύριος· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός...* (Ζήτει τῇ Πέμπτῃ τῆς Δ΄ ἑβδομάδος τοῦ Ματθαίου).

Κοινωνικόν: *Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα.*

*Μεγαλυνάρια.*

Δεῦτε εὐφημήσωμεν εὐσεβῶς, τὴν ἄμωμον Κόρην καὶ τροφὸν τῆς ζωῆς ἡμῶν, τὴν προσαγομένην, ἐν τῷ Ναῷ Κυρίου, Αὐτῷ ἑτοιμασθῆναι εἰς οἰκητήριον.

